*Ξέρξην καὶ τὸ διάδημα ἀφείλετο. οὗ ἀποθανόντος ὁ βάρβαρος τέμνει τὴν καρδίαν καὶ εὗρε δασεῖαν· ὡς Ἀριστείδης ἐν πρώτῃ Περσικῶν* (FHGr. IV 324).

**4 A b.** Stob. III 7, 65 (330 H.)

*Ἀριστείδου ἐν τῷ γ' Περσικῶν.*

*Περσ. . . . Ἑλλ. φερομένων Λακεδαιμόνιοι τριακοσίους εἰς Θερμ. ἔπεμψαν στρατηγὸν αὐτοῖς δόντες Λεωνίδαν. οὗτος τὸ ἐπερχόμενον θεασάμενος τῶν πολεμίων πλῆθος εὐωχουμένοις εἶπε τοῖς συμμάχοις ʻοὕτ. ἀρ., ὦ τριακόσιοι, ὡς . . . δειπν.ʼ ἐπιφανέντων οὖν τῶν βαρβάρων Λεωνίδας πολλ. περιπεπαρμένος δόρ. μεθ' ὁρμῆς ἐπὶ Ξ. ἠνέχθη καὶ περιελόμενος αὐτοῦ τὸ διάδημα πρὸ τῶν τραυμάτων κατέσχε καὶ αἱμορραγήσας ἐξέπνευσεν. ἀνατεμὼν δ' ὁ βασιλεὺς τοῦ προειρημένου τὸ στῆθος εὗρεν αὐτοῦ τὴν καρδίαν τριχῶν γέμουσαν.*

**4 B.** *ΡΩΜΑΙΟΙ πρὸς Ποινοὺς πόλεμον ἔχοντες ἔπεμψαν τριακοσίους καὶ στρατηγὸν Φάβιον Μάξιμον.* E *συμβαλὼν δ' ἀπέβαλε πάντας, αὐτὸς δὲ καιρίως τρωθεὶς μεθ' ὁρμῆς ἐπὶ τὸν Ἀννίβαν ἠνέχθη, καὶ καθελὼν τὸ διάδημα συναπέθανεν αὐτῷ, καθάπερ ἱστορεῖ Ἀριστείδης ὁ Μιλήσιος* (FHGr. IV 322).

**5 A a.** *ΚΑΤΑ Κελαινὰς πόλιν τῆς Φρυγίας χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν εἵλκυσε. Μίδας δ' ὁ βασιλεὺς χρησμὸν ἔλαβεν, ἐὰν τὸ τιμιώτατον ἐμβάλῃ, συνελεύσεσθαι· ὁ δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλὼν οὐδὲν ἐβοήθησεν. Ἄγχουρος δ' υἱὸς τοῦ*